# <u>Omnibus Sam Hood Translation Prize Texts 2019</u>

## Latin

**Cicero, *In Verrem* II 56 (145-46).**
At quae erat ista libido crudelitatis exercendae, quae tot scelerum suscipiendorum causa? Nulla, iudices, praeter praedandi novam singularemque rationem. Nam ut illi quos a poetis accepimus, qui sinus quosdam obsedisse maritimos aut aliqua promunturia aut praerupta saxa tenuisse dicuntur, ut eos qui essent appulsi navigiis interficere possent, sic iste in omnia maria infestus ex omnibus Siciliae partibus imminebat. Quaecumque navis ex Asia, quae ex Syria, quae Tyro, quae Alexandria venerat, statim certis indicibus et custodibus tenebatur; vectores omnes in lautumias coniciebantur, onera atque merces in praetoriam domum deferebantur. Versabatur in Sicilia longo intervallo alter non Dionysius ille nec Phalaris—tulit enim illa quondam insula multos et crudeles tyrannos—sed quoddam novum monstrum ex vetere illa immanitate quae in isdem locis versata esse dicitur. Non enim Charybdim tam infestam neque Scyllam nautis quam istum in eodem freto fuisse arbitror: hoc etiam iste infestior, quod multo se pluribus et immanioribus canibus succinxerat: Cyclops alter multo importunior, hic enim totam insulam obsidebat, ille Aetnam solam et eam Siciliae partem tenuisse dicitur.

**Ovid *Metamorphoses* VIII.703-720**
talia tum placido Saturnius edidit ore:
‘dicite, iuste senex et femina coniuge iusto
digna, quid optetis.’ cum Baucide pauca locutus
iudicium superis aperit commune Philemon:
‘esse sacerdotes delubraque vestra tueri
poscimus, et quoniam concordes egimus annos,
auferat hora duos eadem, nec coniugis umquam
busta meae videam, neu sim tumulandus ab illa
.’vota fides sequitur: templi tutela fuere,
donec vita data est; annis aevoque solute
ante gradus sacros cum starent forte locique
narrarent casus, frondere Philemona Baucis,
Baucida conspexit senior frondere Philemon.
iamque super geminos crescente cacumine vultus
mutua, dum licuit, reddebant dicta ‘vale’ que
‘o coniunx’ dixere simul, simul abdita texit
ora frutex: ostendit adhuc Thyneius illic
incola de gemino vicinos corpore truncos.

**Tibullus I.3 36-56**

quam bene Saturno vivebant rege, priusquam
tellus in longas est patefacta vias!
nondum caeruleas pinus contempserat undas,
effusum ventis praebueratque sinum,
nec vagus ignotis repetens compendia terries
presserat externa navita merce ratem.
illo non validus subiit iuga tempore taurus,
non domito frenos ore momordit equus,
non domus ulla fores habuit, non fixus in agris,
qui regeret certis finibus arva, lapis.
ipsae mella dabant quercus, ultroque ferebant
obvia securis ubera lactis oves.
non acies, non ira fuit, non bella, nec ensem
immiti saevus duxerat arte faber.
nunc love sub domino caedes et vulnera semper,
nunc mare, nunc leti mille repente viae.
parce, Pater. timidum non me periuria terrent,
non dicta in sanctos impia verba deos.
quod si fatales iam nunc explevimus annos,
fac lapis inscriptis stet super ossa notis:
HIC IACET IMMITI CONSVMPTVS MORTE TIBVLLVS,
MESSALLAM TERRA DVM SEQVITVRQVE MARI.

# Greek

**Aelius Aristides, *Panathenaic Oration*, 117-119.**

οὕτω γὰρ θεοῖς τε καὶ Ξέρξῃ δοκεῖν ὑπὲρ τῶν Ξέρξου πραγμάτων· ἥξειν γὰρ ἄγων ἅπαντα, ναῦς μὲν ὅσας ἡ Ἑλληνικὴ θάλαττα οὐχ ὑποδέξεται, ἵππῳ δὲ καὶ πεζοῖς ἀποκρύψειν τὴν Ἀττικήν, καὶ τὴν πόλιν ἱππόκροτον καταστήσειν, ἱερά τε συμφλέξειν καὶ θήκας ἀναρρήξειν καὶ μετασκευάσειν ἅπαντα. ἔτι δὲ Ἀτλαντικοῦ πελάγους κληρουχίας ἀτίμους ἠπείλει καὶ γῆς ποίησιν ἔξω τῆς οἰκουμένης, ἣν ἀναγκάσειν ἠκρωτηριασμένους προχοῦν εἰς τὸ πέλαγος, ὕδωρ μὲν ἀντλοῦντας, πέτρας δὲ ὀρύττοντας, τοσαῦτ' ἔχοντας τοῦ σώματος ὅσα τοῖς ἔργοις ἀρκέσει. καὶ οὐκ ἠπείλει μὲν οὕτως ἀήθη καὶ ὑπερόρια καὶ φόβου μείζω, ἐτελεύτησεν δ' ἐνταῦθα, ἀλλ' ἀπέκρυψεν τοῖς ἔργοις τὰς ἀπειλάς, ἄνευ γε τοῦ τι δυνηθῆναι, λέγω δὴ χρήσασθαι τῇ πόλει. τίνα γὰρ μεσόγειαν ἢ ποίαν Ἀτλαντικὴν ῥαχίαν οὐκ ἔσεισεν; ἢ ποῖον κόλπον ὧν ἴσασιν ἄνθρωποι, λέγω τῶν εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάττης, παρῆκεν ἀσύμβολον; οὐ τὸν εἰς Φᾶσιν, οὐ τὸν ἄνω τὸν Περσικόν, οὐκ Ἐρυθρὰν θάλατταν, οὐχ Ὑρκανίαν, οὐ πάντας συνήγαγεν; οὐ διηρευνήσατο πάντας τῆς γῆς τοὺς μυχοὺς ἀκριβέστερον ἢ Δᾶτις τὴν Ἐρετρικήν; οὐκ ἐσχατιαῖς γῆς καὶ θαλάττης τὸν στόλον ὡρίσατο, ὥσπερ σαγηνεύων τὴν ἀρχὴν τὴν αὑτὸς αὑτοῦ;

**Aeschylus, *Agamemnon* 1560-1576**

ΧΟΡΟΣ

ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους
δύσμαχα δ' ἐστὶ κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων·
μίμνει δὲ μίμνοντος ἐν θρόνῳ Διὸς
παθεῖν τὸν ἔρξαντα· θέσμιον γάρ.
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος πρὸς ἄτᾳ.

ΚΛΥΤΑΙΜΗΣΤΡΑ

ἐς τόνδ' ἐνέβης ξὺν ἀληθείᾳ
χρησμόν· ἐγὼ δ' οὖν
ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν
ὅρκους θεμένη τάδε μὲν στέργει
δύστλητά περ ὄνθ', ὃ δὲ λοιπόν, ἰόντ'
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισιν.
κτεάνων δὲ μέρος βαιὸν ἐχούσῃ
πᾶν ἀποχρῆ μοι, μανίας μελάθρων
ἀλληλοφόνους ἀφελούσῃ

Aristophanes, *Frogs* 939 – 961

[ΕΥΡΙΠΙΔΗΣ]
ἀλλ᾽ ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶτον εὐθὺς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαχθῶν,
ἴσχνανα μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς,
χυλὸν διδοὺς στωμυλμάτων ἀπὸ βιβλίων ἀπηθῶν·
εἶτ᾽ ἀνέτρεφον μονῳδίαις Κηφισοφῶντα μειγνύς.
εἶτ᾽ οὐκ ἐλήρουν ὅ τι τύχοιμ᾽ οὐδ᾽ ἐμπεσὼν ἔφυρον,
ἀλλ᾽ οὑξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ᾽ ἂν εὐθὺς
τοῦ δράματος.

ΑΙΣΧΥΛΟΣ
κρεῖττον γὰρ ἦν σοι νὴ Δί᾽ ἢ τὸ σαυτοῦ.

ΕΥΡΙΠΙΔΗΣ
ἔπειτ᾽ ἀπὸ τῶν πρώτων ἐπῶν παρῆκ᾽ ἂν οὐδέν᾽ἀργόν,
ἀλλ᾽ ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον,
χὠ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν.

ΑΙΣΧΥΛΟΣ
εἶτα δῆτα
οὐκ ἀποθανεῖν σε ταῦτ᾽ ἐχρῆν τολμῶντα;

ΕΥΡΙΠΙΔΗΣ
μὰ τὸν Ἀπόλλω·
δημοκρατικὸν γὰρ αὔτ᾽ ἔδρων.

ΔΙΟΝΥΣΟΣ
τοῦτο μὲν ἔασον, ὦ τᾶν·
οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε
τούτου.

ΕΥΡΙΠΙΔΗΣ
ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα—

ΑΙΣΧΥΛΟΣ
φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ᾽ ὤφελες μέσος διαρραγῆναι.

ΕΥΡΙΠΙΔΗΣ
λεπτῶν τε κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμούς,
νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν ἔδραν, τεχνάζειν,
κάχ᾽ ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα—

ΑΙΣΧΥΛΟΣ
φημὶ κἀγώ.

ΕΥΡΙΠΙΔΗΣ
οἰκεῖα πράγματ᾽ εἰσάγων, οἷς χρώμεθ᾽, οἷς ξύνεσμεν,
ἐξ ὧν γ᾽ ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι
ἤλεγχον ἄν μου τὴν τέχνην·